aut enim ſemper, aut plerunque eodem modo eueniunt. Quæ enim præter naturam ſunt, non oportet exactè diſputare vtrum ſecundum naturam aliqua, an ob aliam cauſſam fiant. Videbitur verò etiam fortuna cauſſa eſſe talium. Vi fiunt quæcunque propter cupiditatem, vel rationes boni fiunt per ipſos agentes. Conſuetudine fiunt quæcunque quia ſæpe fecerunt, faciunt. Propter rationem boni fiunt, quæ videntur vtilia eſſe ex iis, quæ dicta ſunt, bonis, aut tãquam finis, aut tanquam ad finem, quando propter vtile aguntur. Nonnulla enim etiam intemperantes vtilia agunt, verùm non propter vtile, ſed propter voluptatem. Propter excandeſcentiam, & iram fiunt, quæ pertinent ad vltionem. Differt autem vltio à caſtigatione. Nam caſtigatio patientis cauſſa eſt, vltio efficientis, vt expleatur. Ac in quo quidem ſit ira, manifeſtum erit in iis, quæ de affectibus tradentur. Propter cupiditatem aguntur, quæcũque apparent iucunda. Quod verò eſt ex aſſuefactione, & conſuetudine, inter iucunda ponitur. Multa enim etiam eorum, quę natura non ſunt iucunda, cùm aſſueuerint iucundè faciunt. Quare, vt breuiter dicam, quæcunque per ſe agunt, omnia ſunt aut bona, aut quæ videntur bona, aut iucunda, aut quæ videntur iucunda. Et quoniam quæcunque per ſe agunt, ſponte agunt, aut non ſponte, quæcunque non per ſe, omnia quæcunque ſponte agunt, erunt bona, aut quæ videntur bona, aut iucunda, aut quæ videntur iucunda. Pono enim & malorum, & eorum quæ videntur mala, liberationem, aut pro maiori minoris aſſumptionem, inter bona. (eligenda enim quodammodo ſunt,) & moleſtorum, aut eorum quæ videntur, liberationem, aut aſſumptionem pro maioribus minorum, eodem modo inter iucunda. Sumendum igitur eſt, vtilia, & iucunda quot ſint, & qualia. Ac de vtili quidem in deliberatiuis dictum eſt prius. de iucundo autem dicamus nunc. Oportet verò exiſtimare ſatis eſſe definitiones, ſi ſint de vnoquoq. neque exactæ, neque obſcuræ.

CAPVT XI.

IAm poſitum ſit nobis voluptatem eſſe motionem quandam animi, & conſtitutionem ſubitam & ſenſibilem in ſtatu naturæ conuenienti, moleſtiam verò contrarium. Si igitur eſt voluptas eiuſmodi, conſtat etiam iucundum eſſe quod habet vim efficiendæ eius, quæ dicta eſt, affectionis. quod verò habet vim corrumpendæ,

A ἢ γὰρ ἀεὶ, ἢ ὡς ἐπὶ τὸ πολὺ ὡσαύτως ἀποβαίνει· τὰ γὰρ παρὰ φύσιν, οὐδὲν δεῖ ἀκριβολογεῖσθαι, πότερα κατὰ φύσιν τινὰ, ἢ ἄλλην αἰτίαν γίγνεται. δόξειε δ᾽ ἂν καὶ ἡ τύχη αἰτία εἶναι τῶν τοιούτων. βίᾳ δὲ, ὅσα παρ᾽ ἐπιθυμίαν, ἢ τοὺς λογισμοὺς γίγνεται δι᾽ αὐτῶν τῶν πραττόντων. ἔθει δὲ, ὅσα διὰ τὸ πολλάκις πεποιηκέναι, ποιοῦσι. διὰ λογισμὸν δὲ, τὰ δοκοῦντα
B συμφέρειν ἐκ τῶν εἰρημένων ἀγαθῶν, ἢ ὡς τέλος, ἢ ὡς πρὸς τὸ τέλος, ὅταν διὰ τὸ συμφέρον πράττηται· ἔνια γὰρ καὶ οἱ ἀκόλαστοι συμφέροντα πράττουσιν, ἀλλ᾽ οὐ διὰ τὸ συμφέρον, ἀλλὰ δι᾽ ἡδονήν. διὰ θυμὸν δὲ καὶ ὀργὴν, τὰ τιμωρητικά. διαφέρει δὲ τιμωρία καὶ κόλασις· ἡ μὲν γὰρ κόλασις, τοῦ πάσχοντος ἕνεκά ἐστιν· ἡ δὲ τιμωρία, τοῦ ποιοῦντος, ἵνα ἀποπληρωθῇ. περὶ μὲν οὖν τίνα ἐστὶν ἡ ὀργὴ, δῆ-
C λον ἔσται ἐν τοῖς περὶ παθῶν. δι᾽ ἐπιθυμίαν δὲ πράττεται, ὅσα φαίνεται ἡδέα. ἔστι δὲ καὶ τὸ σύνηθες, καὶ τὸ ἐθιστὸν ἐν τοῖς ἡδέσι· πολλὰ γὰρ καὶ τῶν φύσει μὴ ἡδέων, ὅταν ἐθισθῶσιν, ἡδέως ποιοῦσιν. ὥστε συλλαβόντι εἰπεῖν, ὅσα δι᾽ αὑτοὺς πράττουσιν, ἅπαντά ἐστιν ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ, ἢ ἡδέα ἢ φαινόμενα ἡδέα. ἐπεὶ δ᾽ ὅσα δι᾽ αὑτοὺς, ἑκόντες
D πράττουσιν· οὐχ ἑκόντες δὲ, ὅσα μὴ δι᾽ αὑτοὺς, πάντ᾽ ἂν εἴη ὅσα ἑκόντες πράττουσιν, ἢ ἀγαθὰ ἢ φαινόμενα ἀγαθὰ, ἢ ἡδέα ἢ φαινόμενα ἡδέα· τίθημι γὰρ καὶ τὴν τῶν κακῶν ἢ φαινομένων κακῶν, ἢ ἀπαλλαγὴν, ἢ ἀντὶ μείζονος, ἐλάττονος μετάληψιν, ἐν τοῖς ἀγαθοῖς· αἱρετὰ γάρ πως ἐστί· καὶ τὴν τῶν λυπηρῶν, ἢ
E φαινομένων, ἢ ἀπαλλαγὴν, ἢ μετάληψιν ἀντὶ μειζόνων, ἐλαττόνων, ὡσαύτως ἐν τοῖς ἡδέσι. ληπτέον ἄρα τὰ συμφέροντα καὶ τὰ ἡδέα, πόσα καὶ ποῖα. περὶ μὲν οὖν τοῦ συμφέροντος, ἐν τοῖς συμβουλευτικοῖς εἴρηται πρότερον. περὶ δὲ τοῦ ἡδέος, εἴπωμεν νῦν. δεῖ δὲ νομίζειν, ἱκανοὺς εἶναι τοὺς ὅρους, ἐὰν ὦσι περὶ ἑκάστου, μήτε ἀσαφεῖς, μήτε ἀκριβεῖς.

F

Κεφάλαιον ια.

Ὑποκείσθω δ᾽ ἡμῖν εἶναι τὴν ἡδονὴν, κίνησίν τινα τῆς ψυχῆς, καὶ κατάστασιν ἀθρόαν καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν· λύπην δὲ, τοὐναντίον. εἰ δή ἐστιν ἡ ἡδονὴ τὸ τοιοῦτον, δῆλον ὅτι καὶ ἡδύ ἐστι τὸ ποιητικὸν τῆς εἰρημένης διαθέσεως· τὸ δὲ φθαρτικὸν,

ἢ τῆς